N. 192

ΠΑΡΑΚΛΗΣΙΣ ΚΑΙ ΚΔ΄ ΟΙΚΟΙ
ΕΙΣ ΤΟΥΣ ΘΕΙΟΥΣ ΚΑΙ ΠΡΩΤΟΚΟΡΥΦΑΙΟΥΣ ΑΠΟΣΤΟΛΟΥΣ

# ΠΕΤΡΟΝ ΚΑΙ ΠΑΥΛΟΝ

## ΚΑΙ ΕΙΣ ΤΟΥΣ 12

***Ἀναγινωσκομένους 29 καὶ 30 Ἰουνίου***

Ἐκδίδεται χάριν εὐλαβείας
ὑπὸ τοῦ Αἰδεσιμωτάτου καὶ Πνευματικοῦ Πατρὸς
ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΤΕΡΗ
Ἱερέως καὶ ἐφημερίου τοῦ Ναοῦ Ὁσίου Μελετίου.

---

Ἀναγινώσκονται ἑκάστην Πέμπτην, μὴ ἑορταζομένου Ἁγίου.

***Προσετέθησαν Πολυέλεος, Βίος τῶν Ἁγίων καὶ Μακαριστήρια.***

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν αὐτῶν, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Οἱ δύο στύλοι, οἱ δύο φωστῆρες, οἱ δύο λύχνοι, οἱ δύο Θεοκήρυκες καὶ Πνευματοφόροι θεῖοι Ἀπόστολοι καὶ Πρωτοκορυφαῖοι Πέτρος καὶ Παῦλος, οἱ ἀρχηγοὶ καὶ Πρωτοστάται πρεσβεύσατε ὑπὲρ ἡμῶν.

ΑΘΗΝΑΙ 1925.

Πνεύματι· χαῖρε ὅτι τῆς Θεότητος, τὸ φῶς εἶδες ἐν Θαβώρ· χαῖρε ὅτι ἄλλος γέγονας, ἥλιος ὁλολαμπής· χαῖρε φωτὸς νεφέλης, ἔνδον ὁ εἰσχωρήσας· χαῖρε φωνῆς πατρώας ἀκουστὴς χρηματίσας· χαῖρε λαβών, τὸν Νόμον τοῦ Πνεύματος· χαῖρε κληθείς, πρὸς Χριστοῦ μακάριος· χαῖρε πλουτῶν αὐθεντίαν ἐν λόγοις· χαῖρε πιστούς, ἐν ὑπομονῇ σώσας.

Χαῖρε Πέτρε Ἀπόστολε.

Ξένως ἐπὶ τοῦ ὄρους, διπλοῦν ἔπαθες πάθος, κατ' αἴσθησιν καὶ νόησιν Πέτρε· νικηθέντων γὰρ φωτὸς τῇ προσβολῇ, σῶν φυσικῶν μόνος Θεὸς ἐφαίνετο, διὰ ψυχῆς καὶ σώματος· ᾧ καὶ πρὴν ς ἐβόας ἔνθους. Ἀλληλούϊα

Οὐρανὸς ἀνεδείχθης νοητὸς Θεοῦ δόξαν, τοῖς πᾶσι διηγούμενος Παῦλε· καὶ ὁ φθόγγος σου εἰς πᾶσαν γῆν ἐξῆλθε, κηρύττων Τριάδα ἄκτιστον, καὶ Θεοῦ Υἱὸν τὸν Χριστόν, τοῖς Ἔθνεσιν οὕτω βοῶσι.

Χαῖρε πλουτῶν, Πνεύματος τὰ βάθη· χαῖρε αὐχῶν, τὴν ἄληστον γνῶσιν· χαῖρε τῆς Τριάδος ὁ οἶκος ὁ πάνσεπτος· χαῖρε τῆς δυάδος, τῶν φύσεων τέμενος· χαῖρε πλάτος ἀπερίληπτον, τῆς ἀγάπης τῆς διπλῆς· χαῖρε μῆκος προαιώνιον, τοῦ θείου προορισμοῦ· χαῖρε θεολογίας, τὸ ἀπρόσιτον ὕψος· χαῖρε οἰκονομίας, ἀθεώρητον βάθος· χαῖρε βουλῶν, Θεοῦ τηλεσκόπιον· χαῖρε τραχύ,



ὄρος ἀποκαλύψεων· χαῖρε τὸ πῦρ, ὅλης τῆς θεοπτίας· χαῖρε βαθύ, φρέαρ θεοσοφίας.

Χαῖρε Παῦλε Ἀπόστολε.

Πόθῳ τοὺς ἀπυθμάντους ψηλαφήσας κευθμῶνας, βυθοὺ τοῦ ἀνωτάτου ὦ Παῦλε, εὗρες μαργαρίτας ἐν αὐτοῖς, σιγὴν νοερὰν ἔκπληξίν τε ἔκστασιν, κατάπαυσιν, ἀνάπαυσιν, χαρὰν μετὰ τοῦ ὑποψάλλειν οὕτως. Ἀλληλούϊα.

Ῥήτορας κενολόγους, καὶ σοφοὺς ὡς ἀσόφους, ἔδειξεν ὁ ἰδιώτης Πέτρος, τῇ θεοσοφίᾳ στομωθείς, καὶ πυρίνῃ γλώσσῃ τοῦ θείου Πνεύματος· ἐγείρων τοὺς πιστεύοντας βοᾶν αὐτῷ ἀπὸ καρδίας.

Χαῖρε σεπτόν, Παρακλήτου στόμα· χαῖρε πυρί, στομωθεῖσα γλῶσσα· χαῖρε τῆς σοφῶν, σοφίας ἡ κατάργησις· χαῖρε συνετῶν συνέσεως ἀθέτησις· χαῖρε Πέτρε χαριέστατε, ἡ λευκὴ περιστερά· χαῖρε πίναξ θεομόρφωτε, πάντων τῶν μακαρισμῶν· χαῖρε τῆς βασιλείας, οὐρανῶν ὁ κλειδοῦχος· χαῖρε τῶν μυστηρίων τοῦ Χριστοῦ ταμιοῦχο· χαῖρε πιστῶν, τὸ πολιὸν φρόνημα· χαῖρε κλεινόν, τῆς χάριτος ἄγαλμα· χαῖρε πυρός, ἔξαλμα οὐρανίου· χαῖρε φωτός, μύημα ἀδιδάκτου.

Χαῖρε Πέτρε Ἀπόστολε.

Σύμβολον τῆς ἀγάπης, ὁ Χριστὸς τῆς ἰδίας, νομὴν τὴν τῶν προβάτων δεικνύων, εἰ φιλεῖς με Πέτρε ἔφη σοί, ποίμαινε προθύμως τὰ ἐμὰ πρό-

ξατα. ἃ καὶ χαίρων ἐποίμανας, δι' ἀγάπησιν θείαν, κράζων. Ἀλληλούϊα.

Τί μοι πλοῦτος καὶ δόξα καὶ τρυφὴ φθειρομένη; βοᾷ ἡ τοῦ Χριστοῦ Ἐκκλησία· ἐμοὶ πλοῦτος καὶ δόξα καὶ τρυφή, ὁ Παῦλος ὑπάρχει ἡδὺ φθεγγόμενος, καὶ ῥητορεύων ὕψιστα· ὃν καὶ κατασπαζομένη κράζω.

Χαῖρε ἡ σάλπιγξ τῆς ἀληθείας· χαῖρε κιθάρα θεολογίας· χαῖρε ἀηδών, οὐρανοῦ ἡ ἡδύλαλος· χαῖρε χελιδών, τοῦ Χριστοῦ ἡ πολύφωνος· χαῖρε λύρα μελῳδήσασα, Εὐαγγέλιον Λουκᾶ· χαῖρε ὄργανον πνεόμενον, Παρακλήτου ταῖς πνοαῖς· χαῖρε γλῶσσα πυρίπνους, ἡ τὰ θεῖα βροντῶσα· χαῖρε νάβλα κιννύρα, ἐπὶ τοῦ Πνεύματος Μοῦσα· χαῖρε σεμνόν, ὠτίων μου ἥδυσμα· χαῖρε ἐμῶν κροτάφων ἀνάπαυλα· χαῖρε δι' οὗ, τῶν εἰδώλων ἐρρύσθην· χαῖρε δι' οὗ, τῷ Χριστῷ προσηρμόσθην.

Χαῖρε Παῦλε Ἀπόστολε.

Ὑπερβὰς τὴν τῆς ὕλης, ἀτακτοῦσαν Δυάδα, Χριστοῦ φύσεως ἔγνως· καθαρθεὶς δὲ ψυχῆς τὸ τριμερές, τῆς Τριάδος ὤφθης ἐπόπτης ἄϋλος συγκρινόμενος, καὶ ψάλλων Παῦλε ἐκ καρδίας τούτῃ. Ἀλληλούϊα.

Φῶς τὸ πρῶτόν σε Πέτρε, ἐκ Παρθένου ἐκλάμψαν, φῶς δεύτερον ἀνέδειξε κόσμῳ, ταῖς φαεινοτάταις ἀστραπαῖς τῆς θεογνωσίας, αὐγάζον ἅπαντας, καὶ διεγεῖρον ὕμνοις σε, χαριστηρίοις ἀναμέλπειν.



Χαῖρε τὸ φῶς τῶν ἐσκοτισμένων· χαῖρε ὁδός, τῶν πεπλανημένων· χαῖρε τῶν θαυμάτων, Χριστοῦ κῆρυξ πρώτιστε· χαῖρε παθημάτων αὐτοῦ, μάρτυς ἄριστε· χαῖρε ὅτι ᾅδου κάθοδον σαφηνίζεις μόνος σύ· χαῖρε ὅτι τὴν ἀνάστασιν, πρῶτος ἤγγειλας λαοῖς· χαῖρε δημηγορήσας τὴν χύσιν Παρακλήτου· χαῖρε ὑπαγορεύσας, Εὐαγγέλιον Μάρκου· χαῖρε λαπτήρ, Ἐθνῶν ὁ πρωτόφωτος· χαῖρε Χριστοῦ, ἵππος ὁ ἁγιόλεκτος· χαῖρε λαμπρέ, παρήλιε Ἡλίου· χαῖρε Θεοῦ, μίμημα ἀμιμήτου.

Χαῖρε Πέτρε Ἀπόστολε.

Χαίρεις ἀνεκλαλήτως, ἐν ὑψίστοις ὦ Πέτρε, Χριστῷ τῷ ποθητῷ Διδασκάλῳ, οἷα Θεὸς ἀμέσως Θεῷ, τῷ φύσει ὁ θέσει νῦν παριστάμενος, καὶ δόξης ἐμφορούμενος θεαρχικῆς, βοῶν ἀπαύστως. Ἀλληλούϊα.

Ψάλλεις παναρμονίως, τῷ Θεῷ τῇ Τριάδι, τὸν ὕμνον τὸν Τρισάγιον Παῦλε· καὶ Πνεύματι Λόγῳ καὶ νοΐ, ἡνωμένοις βλέπεις νοῦν Λόγον Πνεῦμά τε, εἰκόνι, τὸ ἀρχέτυπον, Θεὸν Θεόν· δι' ὃ ἀκούεις.

Χαῖρε εἰκών, ἀρχετύπου κάλλους· χαῖρε Θεοῦ δογμάτων τὸ κράτος· χαῖρε νοητοῦ, κόσμου ἡ ἀνακάλυψις· χαῖρε νοερῶν Ταγμάτων ἡ φανέρωσις· χαῖρε στόμα τὸ χριστόλαλον, Χρυσοστόμου ἡ πνοή· χαῖρε τοῦ θεοειδέστατε, Διονυσίου αὐγή· χαῖρε τῶν ἀθεάτων θεατὰ θεαμάτων· χαῖρε τῶν

ἀνηκούστων, ἀκουστὰ ἀκουσμάτων· χαῖρε καρπῶν τοῦ Πνεύματος ἔμπλεως· χαῖρε αὐτοῦ χαρίτων ἀνάμεστος· χαῖρε δι' οὗ ἡ Τριὰς ἐκηρύχθη· χαῖρε δι' οὗ, ἡ Μονὰς ἐδοξάσθη.

Χαῖρε Παῦλε Ἀπόστολε.

Ὦ γλυκύτατε Πέτρε, καὶ παμφίλτατε Παῦλε Πατέρες τῆς ἡμῶν εὐσεβείας, ἐφύμνιον τοῦτο τὸ βραχύ, ὡς μικρῶν νηπίων ψελλισμόν, δέξασθε, τοὺς μελῳδοῦντας. Ἀλληλούϊα.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τοὺς σὺν ἀνθρώποις πρὶν φανέντας ἀγγελόφρονας, καὶ σὺν Ἀγγέλοις ἤδη χρηματίζοντας, Ἀγγελικοῖς ᾄσμασι καὶ θεοπρεπέσιν, Ἀποστόλων τοὺς ἐξάρχους εὐφημήσωμεν. Ὡς σωτῆρα τῶν ψυχῶν ἡμῶν ὑπάρχοντας, χαῖρε κράζοντες, Πέτρε, Παῦλε Ἀπόστολοι.

## 29 Ἰουνίου.

***Τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων καὶ Πρωτοκορυφαίων, Πέτρου καὶ Παύλου.***

Ἀργία καὶ ἰχθύος κατάλυσις ἐὰν τύχῃ Τετάρτην ἢ Παρασκευήν, ἐν ἄλλαις ἡμέραις τὰ πάντα.

Ἀπολυτίκιον. Ἦχος Δ'.

Οἱ τῶν Ἀποστόλων Πρωτόθρονοι καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.



Εἴσοδος.

Δεῦτε προσκυνήσωμεν... Καὶ τοῦ Ἁγίου τῆς Μονῆς.

Ἡ Ὑπακοή. Ἦχος πλ. δ'.

Ποία φυλακὴ οὐκ ἔσχε σὲ δέσμιον; Ποία Ἐκκλησία οὐκ ἔχει σε ῥήτορα; Δαμασκὸς μέγα φρονεῖ ἐπὶ σοὶ Παῦλε· οἶδε γὰρ σὲ σκελισθέντα φωτί. Ῥώμη σου τὸ αἷμα δεξαμένη, καὶ αὐτὴ κομπάζει· ἀλλ' ἡ Ταρσὸς πλέον χαίρει. καὶ πόθον τιμᾷ σου τὰ σπάργανα. Ἀλλ' ὦ Παῦλε Ἀπόστολε, τὸ καύχημα τῆς οἰκουμένης, προφθάσας ἡμᾶς στήριξον.

Κοντάκιον. Ἦχος β'.

Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους κήρυκας τὴν κορυφὴν τῶν Ἀποστόλων Κύριε, προσέλαβον εἰς ἀπόλαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Εἰς τὰ Δίπτυχα τὸ Μεγαλυνάριον (ὅρα ἔμπροσθεν εἰς τὴν παράκλησιν τῶν Ἁγίων). Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν. Ἀπόλυσις. Χριστὸς ὁ ἀληθινὸς Θεὸς πρεσβείαις τῆς Θεοτόκου καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

Προκείμενον, Ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πρὸς Κορινθ. Β' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, ἐν ᾧ δ' ἂν τις τολμᾷ (ἐν ἀφροσύνῃ λέγω), τολμῶ κἀγώ. Ἑβραῖοί εἰσι; κἀγώ. Ἰσ-

ραηλῖταί εἰσι ; κἀγώ· σπέρμα Ἀβραάμ εἰσι ; κἀγώ. Διάκονοι Χριστοῦ εἰσι ; (παραφρονῶν λαλῶ) ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις. Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον· τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθημερὸν ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι. Χωρὶς τῶν παρεκτός, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν. Τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ ; Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι ; Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων· καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ. Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι· ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου. Οἶδα



ἄνθρωπον ἐν Χριστῷ, πρὸ ἐτῶν δεκατεσσάρων (εἴτε ἐν σώματι οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς εἶδεν), ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. Καὶ οἶδα τὸν τιοῦτον ἄνθρωπον (εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν), ὅτι ἡρπάγη εἰς τὸν Παράδεισον, καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου. Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δέ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ. Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ. Καὶ εἴρηκέ μοι· Ἀρκεῖ σου ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς Μαθητὰς αὐτοῦ, λέγων· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι· τὸν Υἱὸν τοῦ ἀνθρώπου ; Οἱ δὲ εἶπον· Οἱ μὲν, Ἰωάννην τὸν Βαπτιστήν·

ἄλλοι δὲ Ἠλίαν· ἕτεροι δὲ, Ἱερεμίαν, ἢ ἕνα τῶν Προφητῶν. Λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα μὲ λέγετε εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος, εἶπε· Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· Μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου, ὁ ἐν τοῖς οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύουσιν αὐτῆς· καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔστε δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.

***Μακαριστήρια εἰς τοὺς 12 Ἀποστόλους.***

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σας Ἀπόστολοι Κυρίου.

Αἱ γενεαὶ πᾶσαι ὑμᾶς μακαριοῦμεν τοὺς κήρυκας τοῦ Λόγου.

Λόγε Θεοῦ Παντάναξ, δός μοι σῷ δούλῳ λόγον, σοὺς μύστας εὐφημῆσαι.

Ἐκ τῶν περάτων κόσμου, τῶν εὐσεβῶς δραμόντων πρὸς ὕμνον Ἀποστόλων.

Τάγματα τῶν Ἁγίων, μνήμην τῶν Ἀποστόλων, βροτοῖς συνεορτάζει.



Ἡ οἰκουμένη πᾶσα, σήμερον ἑορτάζει, μνήμην τῶν Ἀποστόλων.

Οἱ κήρυκες τοῦ Λόγου, σήμερον ἀοράτως ἡμᾶς περιφρουρεῖτε.

Εἰς πᾶσαν γῆν ὁ φθόγγος, ἐξῆλθεν Ἀποστόλων, ὡς Προφητάναξ φάσκει.

Κατὰ τὸν Σολομῶντα, ἐφάνητε βολίδες, δραμοῦσαι κτίσιν μῦσται.

Εἰς ἅπαντα τὰ ἔθνη ἐστάλητε θεόπται, ζῶντα Θεὸν κηρύξαι.

Αὐτόπται τοῦ Σωτῆρος, μὴ παύσητε πρεσβεύειν, ὑπὲρ ἡμῶν τῷ Κτίστῃ.

Πέτρε Κορυφαῖε, τῆς πίστεως τῇ πέτρᾳ στῆσον ἡμᾶς λιταῖς σου.

Οὐρανοβάμων Παῦλε, ἡμᾶς λιταῖς σου δεῖξον πολίτας οὐρανίους.

Πρωτόκλητε Ἀνδρέα, σὲ πρῶτον πρὸς τὸν Κτίστην προσφέρομεν μεσίτην.

Βαρθολομαῖε. πάντες, ἵλεον τὸν Δεσπότην λιταῖς σου ποίησόν με.

Θωμᾶ Ἱερακῆρυξ εὖξαι ἵνα ρυσθῶμεν, πυρὸς τοῦ αἰωνίου.

Ἀπόστολε Κυρίου Σίμων λιταῖς σου πάντες ρυσθείημεν κινδύνων.

Πάνσοφε Ἰωάννη, τοὺς σὲ προσκαλουμένους βοήθειαν παράσχου.

Ἰάκωβε Θεόπτα, ὁ παῖς τοῦ Ζεβεδαίου ῥῦσαι γεέννης.

Ἰάκωβε Ἀλφαίου, δυσώπει τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν ἀπαύστως.

Φίλιππε θεηγόρε, πάντας πιστοὺς συντήρει, ἐκ πάσης ἐπηρείας,

Ματθαῖε θεηγόρε λιταῖς σου πρὸς τὸν Κτίστην ἐξάρπασον κινδύνων.

Ὦ κήρυκες Κυρίου, λιταῖς ὑμῶν πρὸς Κτίστην ἡμᾶς περιφρουρεῖτε.

Ἡ δωδεκὰς τοῦ Λόγου σήμερον εὐφημεῖται ὑπὸ παντὸς τοῦ Κόσμου.

Χορὸς τῶν Ἀποστόλων, λιταῖς πρὸς τὸν Σωτῆρα ὑπὲρ ἡμῶν ποιεῖσθαι.

Ἡ δωδεκὰς ἡ θεία, Θεὸν ἐκλιπαρεῖτε ἡμᾶς δεινῶν ῥυσθῆναι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὦ Τριὰς Ἁγία, πρεσβείαις τοῦ Ἀνδρέου σῶσον ἡμᾶς πάντας.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παρθένε Θεοτόκε μετὰ τῶν Ἀποστόλων ὑπὲρ ἡμῶν δυσώπει.

**Πολυέλεος εἰς τοὺς ἱεροὺς καὶ πνευματοφόρους Ἀποστόλους Πέτρον καὶ Παῦλον.**

Τὸ στερέωμα. Ἀλληλούϊα.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ



χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Ἀλληλούϊα.

Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε.

Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου.

Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

Ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

Θεὸς θεῶν Κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν.

Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου. Ἀλληλούϊα.

Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τὴν οἰκουμένην.

Καὶ ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ.

Καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ.

Ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν.

Ἄρχοντες Ζαβουλών, ἄρχοντες Νεφθαλείμ.

Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ Ἔθνη.

Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων.

Μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ. Ἀλληλούϊα.

Ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν.

Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.

Ἀναγγείλατε ἐν τοῖς Ἔθνεσι τὴν δόξαν αὐτοῦ.

Ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.

Εἴπατε ἐν τοῖς ἔθνεσιν ὅτι Κύριος ἐβασίλευσεν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ρήματα αὐτῶν. Ἀλληλούϊα.

Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν χειλέων αὐτοῦ.

Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν καὶ πόνους λαῶν κατεκληρονόμησαν.

Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. Ἀλληλούϊα.

Ἐνέγκατε τῷ Κυρίῳ. Υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. Ἀλληλούϊα.

Ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.

Μέγας ὁ Κύριος ἡμῶν καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

Αὐτὸς δώσει δύναμιν, καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ.

Εὐλογητὸς ὁ Θεός.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Τὸν Πατέρα προσκυνήσωμεν καὶ τὸν Υἱὸν δοξολογήσωμεν καὶ τὸ Πανάγιον ὁμοῦ πάντες Πνεῦμα ἀνυμνήσωμεν, κράζοντες καὶ λέγοντες. Παναγία Τριάς, σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων,



Τὴν Μητέρα σου προσάγει σοι, εἰς ἱκεσίαν ὁ λαός σου Χριστέ· ταῖς παρακλήσεσιν αὐτῆς, τοὺς οἰκτιρμούς σου δὸς ἡμῖν Ἀγαθὲ ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Ὁμιλία πρὸς τοὺς Πρωτοκορυφαίους Ἀποστόλους Πέτρον καὶ Παῦλον.**

Εὐλόγησον Πάτερ (Ἀντὶ τοῦ Κοινωνικοῦ).

Εἰς τοὺς Πρωτοκορυφαίους Ἀποστόλους Πέτρον καὶ Παῦλον, ὧν τοῦ σήμερον ἑορτάζει ἡ Ἁγία ἡμῶν Ἐκκλησία, θέλω διηγηθῇ ἐν συντόμῳ τὴν πολιτείαν καὶ τὸν βίον ἑκάστου. : Ὁ θεομακάριστος Πέτρος ἦν ἐκ Βηθσαϊδὰ τῆς Γαλιλαίας, υἱὸς Ἰωνᾶ, ἀδελφὸς Ἀνδρέου τοῦ Πρωτοκλήτου, ἁλιεὺς τὴν τέχνην, ἰδιώτης καὶ πτωχός, καλούμενος Σίμων τὸ πρῶτον, εἶτα μετενωμάσθη Πέτρος ὑπὸ τοῦ στόματος τοῦ Κυρίου. Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος Ἐλθὼν εἰς τὸ Ἀποστολικὸν κήρυγμα καὶ γενόμενος ἀχώριστος καὶ ζηλωτὴς μαθητὴς τοῦ Κυρίου ἠκολούθησεν Αὐτῷ, ἀπ' ἀρχῆς τοῦ σωτηρίου κηρύγματος, ἕως τὸ πάθος τοῦ Κυρίου, ἔνδον τῆς αὐλῆς τοῦ Καϊάφα, ὅπου τὸν ἠρνήθη τρὶς διὰ τὸν φόβον τῶν Ἰουδαίων καὶ τὸν ἐπικείμενον κίνδυνον, ἔλαβε δὲ πάλιν διὰ πικροτάτων δακρύων τὴν μετάνοιαν τῆς συγχωρήσεως.

Μετὰ δὲ τὴν Ἀνάστασιν τοῦ Κυρίου, καὶ τὴν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΙ...

τοῦ Ἁγίου Πνεύματος κάθοδον, κηρύξας τὸ Ἱερὸν Εὐαγγέλιον εἰς τὴν Ἰουδαίαν, Ἀντιόχειαν, Εὐξείνου Πόντου Γαλατᾶν, Καπαδοκίαν, Ἀκτὴν καὶ εἰς ἄλλα διάφορα ἔθνη, ἦλθε τελευταῖον εἰς Ῥώμην, ὅπου ἐκεῖ ἐσταυρώθη ὑπὸ Νέρωνος, κάτω τὴν κεφαλήν, καὶ ἄνω τοὺς πόδας, τὸ ἔτος 68 καὶ ἀνῆλθενεἰς τὰς αἰωνίους μονάς,καταλιπὼν εἰς τὴν Ἐκκλησίαν 2 καθολικὰς ἐπιστολάς.

Γράφει δὲ ὁ Δοσίθεος, ὅτι ὅταν ἐπῆγε ὁ Πέτρος εἰς τὴν Ρώμην, τὸν ὑπήντησεν ὁ Κύριος καθ' ὁδὸν καὶ τὸν ἐνεθάρρυνε διὰ τὸν σταυρικὸν θάνατον ὅπου τοῦ προητοίμαζεν ὁ ἀσεβέστατος Νέρων, καὶ οὕτω πως ἔλαβε δύναμιν καὶ μεγάλον θάῤῥος χαίρων καὶ ἀγαλλόμενος καὶ ἐνεταφιάσθη εἰς τὸ Βατικανὸν εἰς τὴν καλουμένην Αὐρηλίαν ὁδόν.

Ὁ δὲ θεσπέσιος Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς τοῦ Χιστοῦ, ἡ δόξα τῆς Ἐκκλησίας, ὁ Ἀπόστολος τῶν ἐθνῶν καὶ τοῦ κόσμου παντὸς ὁ διδάσκαλος, ἦτο Ἰουδαῖος τὸ γένος ἐκ τῆς φυλῆς Βενιαμίν, κατὰ τὴν αἵρεσιν Φαρισσαῖος, γυμνασμένος τὸν νόμον τοῦ Μωϋσέως, διάπυρος ἐραστὴς τοῦ παλαιοῦ νόμου, ἐπολέμει μετὰ ζήλου τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ὅπου καὶ παρ' αὐτοῦ ἐφονεύθη ὁ Πρωτομάρτυς Στέφανος.

Κατὰ τὸ ἔτος 36 ὅπου ἦτο ἡ σφοδροτάτη μα-



νία κατὰ τοῦ μαθητοῦ τοῦ Χριστοῦ ἐφωδιασμένος μὲ συστατικὰ γράμματα ἀπὸ τοὺς ἀρχιερεῖς ὅσους εὕρῃ χριστιανοὺς νὰ τοὺς ὑπάγῃ δεσμίους. Πλησιάσας εἰς τὴν πόλιν ἀφοῦ εἶχε φύγει ἀπὸ τὴν Δαμασκόν, τοῦ ἦλθε μία τύφλωσις τῶν ὀφθαλμῶν ὅπου ἐσκοτίσθη ὥραν μεσημβρίαν, ὑπὸ τοῦ θείου φωτός. Πεσὼν κάτω εἰς τὴν γῆν, ἀκούει φωνὴν λέγουσαν, Σαοὺλ Σαοὺλ τί μὲ διώκεις; Καὶ ἐρωτήσας τίς εἶ Κύριε; ἀκούει πάλιν. Ἐγὼ εἶμαι Ἰησοῦς, ὃν σὺ διώκεις. Σκληρόν σοι πρὸς κέντρα λακτίζειν. Ἡ οὐράνιος αὐτη φωνὴ τὸν κατέστησεν ἔντρομον καὶ τὸν ἐτύφλωσε πρὸς καιρόν, εἰσελθὼν εἰς τὴν πόλιν χειραγωγούμενος, κατὰ τὴν θείαν ἀποκάλυψιν, ἐβαπτίσθη ὑπὸ τοῦ Ἀποστόλου Ἀνανίου καὶ ἀνοίγει πάλιν τοὺς σωματικοὺς καὶ ψυχικοὺς ὀφθαλμοὺς καὶ παρουσιάζεται ἐν ταῖς Συναγωγαῖς τῶν Ἰουδαίων καὶ κηρύττει μεγαλοφώνως ἐνώπιον πάντων τὸν Χριστὸν Θεὸν ἀληθινόν. Ὅτι Οὗτος ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.

Τὸν ζῆλον εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου, τοὺς ἀμετρήτους κόπους, τὰς θλίψεις τὰς πολυειδεῖς, τὰς πληγάς, τὰς φυλακάς, τὰ δεσμά, τοὺς ῥαβδισμούς, τοὺς λιθασμούς, τὰ ναυάγια, τὰς ὁδοιπορίας, τοὺς κινδύνους, ἐν γῇ καὶ ἐν θαλάσσῃ, ἐν πόλεσιν καὶ ἐν ἐρημίαις, τὰς συνεχεῖς ἀγρυπνίας, τὰς καθ' ἡμέραν νηστείας, τὴν πεί-

ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΠΑ... (watermark)

ναν, τὴν δίψαν, τὴν γυμνότητα, ὅπου σιωπῶ, δὲν ἔχουν ἀρχὴν οὔτε τέλος. Λέγω δὲ ἡμῖν ὅτι ἐκήρυξεν τὸ Ἱερὸν Εὐαγγέλιον εἰς Ἀσίαν, Εὐρώπην, Δύσιν καὶ Ἀνατολὴν ὥσπερ πετεινὸν τοῦ Οὐρανοῦ. 250 εἶναι αἱ ἐπιστολαί του, ἐξήγησε τὴν παλαιὰν καὶ νέαν Διαθήκην, καὶ ἑκάστης ἡλικίας τὰ καθήκοντα τῶν ἀνθρώπων, καὶ αὐτὸς ὑπὸ Νέρωνος ἀπεκεφαλίσθη, ὅπου ἔτρεξεν ἀντὶ αἷμα γάλα ἐκ τῆς τομῆς τοῦ λαιμοῦ.

Ἀλλ' ὢ Θεῖοι καὶ Ἱεροὶ Ἀπόστολοι καὶ Διδάσκαλοι τῆς Ἐκκλησίας, καὶ τῶν Ἐθνῶν σαγηνευταί, ἱκετεύσατε τὸν εὔσπλαγχνον καὶ παντοδύναμον Θεόν, ἵνα γείνῃ ἵλεος εἰς τὸ Ὀρθόδοξον γένος καὶ μᾶς συγχωρήσῃ τὰς ἁμαρτίας, διότι εἰς Ἐσὲ Κύριε καὶ Παντοδύναμε Θεὲ ὡς ἄνθρωποι εὑρισκόμενοι εἰς τὸν κόσμον καθημερινῶς ἁμαρτάνωμεν, εἴτε ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν, ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, ἀλλὰ πάλιν, εἰς τὸ Ἅγιον καὶ εὔσπλαγχνον ὄνομά Σου προσπίπτομεν δεόμενοι μετὰ στεναγμῶν καὶ δακρύων νὰ μᾶς συγχωρήσῃς ὡς Πολυέλεος Θεὸς τὰς ἁμαρτίας μας. Πρεσβείαις τῆς Παναχράντου σου μητρός, τῶν Θεοκηρύκων καὶ Πνευματοφόρων Κορυφαίων Πέτρου καὶ Παύλου καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.



16 Ἰανουαρίου. Ἡ προσκύνησις τῆς Τιμίας Ἁλύσεως τοῦ Ἁγίου καὶ Πανευφήμου Ἀποστόλου Πέτρου.

Ἀπολ. Ἦχ. Β'.

Τὴν Ῥώμην μὴ λιπών, πρὸς ἡμᾶς ἐπεδήμησας, δι' ὧν ἐφόρεσας Τιμίων Ἁλύσεων, τῶν Ἀποστόλων Πρωτόθρονε: ἃς ἐν πίστει προσκυνοῦντες δεόμεθα, τῆς πρός Θεὸν πρεσβείαις σου, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἦχ. Β'. Τὴν ἐν Πρεσβείαις.

Τὸν Κορυφαῖον καὶ πρῶτον τῶν Ἀποστόλων, τῆς ἀληθείας τὸν ἔνθεον ὑποφήτην, Πέτρον τὸν μέγιστον εὐφημήσωμεν, καὶ τὴν αὐτοῦ ἐν πίστει, ἀσπασώμεθα Ἅλυσιν, πταισμάτων τὴν λύσιν κομιζόμενοι.

Μεγαλυνάριον.

Ῥεῖθρα ἰαμάτων ὡς ἐκ πηγῆς, χάριτι θαυμάτων, βρύει χρήζουσιν ἡ σειρά, Πέτρου τοῦ πανσόφου, καὶ θείου Ἀποστόλου, οἱ ῥώσεως διψῶντες δεῦτε ἀρύσασθε.

(Κοινωνικόν). Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος κτλ.

Ἐὰν τύχῃ Τετάρτη ἢ Παρασκευή, ἔχει κατάλυσιν οἴνου καὶ ἐλαίου.

Ἐγράφη ἐν ἡμέρᾳ Τετάρτῃ τὸ παρὸν φυλλάδιον παρ' ἐμοῦ, 16 Ἰανουαρίου 1925.

ΓΕΩΡΓΙΟΣ Α. ΒΟΥΤΑΡΗΣ ΙΕΡΕΥΣ
Ἐφημέριος Ὁσίου Μελετίου.

# ΕΥΡΙΣΚΟΝΤΑΙ ΠΑΡ' ΗΜΙΝ ΑΙ ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

Τῆς Λαμπρᾶς καὶ ἐνδόξου Μεταμορφώσεως
Τῆς Παναγίας Μυρτιδιωτίσσης Κυθήρων
Τοῦ Ἁγίου Διονυσίου Ἀρχ. Αἰγίνης Ζακύνθου
Τοῦ Ἁγίου ἐνδόξου καὶ Εὐαγγελιστοῦ Λουκᾶ
Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Τρύφωνος
Τοῦ Ἁγίου ἐνδόξου Νεομ. Κωνσταντίνου Ὕδρας
Τῆς Ἁγίας ἐνδόξου Μεγ. Φωτεινῆς τῆς Σαμαρείτιδος
Τῆς Ἁγίας ἐνδόξου Μεγαλομ. καὶ Ἰσαποστόλου Μαγδαληνῆς καὶ Ἁγίας Μαρκέλλης
Τοῦ ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου.
Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Μελετίου.
Τοῦ Ἁγίου Ἱερομάρτυρος Πολυκάρπου ἐπ. Σμύρνης
Τῆς Ἁγίας Μητρὸς ἡμῶν Φιλοθέης Ἀθηνῶν
Τοῦ Ἁγίου Ἱερομ. Διονυσίου τοῦ Ἀρεοπαγίτου
Βίοι ὁμοῦ Ἁγίων Ἀναργύρων καὶ Παράκλ. καὶ Βίος τῶν Ἁγίων Ἀκινδύνων. 1 καὶ 2 Ν βρίου ἡ Ἑορτή των.
Ἱεραὶ Καταβασίαι καὶ Μεγαλυνάρια ὅλου τοῦ ἔτους.
Τῆς Ἁγίας Παρασκευῆς 26 Ἰουλίου
Τοῦ Ἁγίου Γεωργίου τοῦ ἐξ Ἰωαννίνων
Τοῦ Ἁγίου Φανουρίου τοῦ Νεοφανοῦς
Τῆς Ἁγίας Μεγαλομάρτυρος Κυριακῆς.
Τοῦ Ἁγίου Ἱερομάρτ. Βλασίου.
Τοῦ Ἁγίου Ἰωάννου Μητροπολ. Θηβῶν.
Παράκλησις καὶ Χαιρετισμοὶ εἰς τὸν Ἅγ. Γεώργιον
Παράκλησις καὶ Χαιρετισμοὶ εἰς τὸν Δημήτριον.
Παράκλησις καὶ χαιρετισμοὶ εἰς τοὺς πρωτοκορυφαίους Ἀποστόλους Πέτρον καὶ Παῦλον.
Βίοι καὶ Ἀκολουθίαι διαφόρων Ἁγίων.
Καὶ μικρὰ φυλλαδια τῆς Μεταλήψεως, τῶν χαιρετισμῶν τῆς Θεοτόκου, Νεκρώσιμος Ἀκολουθία Ἀκολουθία τῆς Ἱερᾶς Παρακλήσεως, τὰ Ἄνθη τοῦ Παραδείσου ὑπὸ Χαρίτωνος Μοναχοῦ.

**Εὑρίσκονται** παρὰ τῷ Αἰδεσιμωτάτῳ Γεωργίῳ Α. Βουτέρῃ Ἱερεῖ, Ἐφημερίῳ Ὁσίου Μελετίου, Οἰκία του Ὁδὸς Ἁγίου Μελετίου Ἀριθ. 25. Τρὰμ Ἀχαρνῶν - Τέρμα.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΠΡΟΣ ΤΟΥΣ ΔΩΔΕΚΑ ΑΠΟΣΤΟΛΟΥΣ

***Ποίημα Νικοδήμου Ἁγιορείτου***

Ἦχος δ΄. Πρὸς, τῇ Θεοτόκῳ ἐκτενῶς.

Τῶν Ἀποστόλων τῷ Ναῷ νῦν προσδράμωμεν, καὶ τῇ εἰκόνι τῇ αὐτῶν προσκυνήσωμεν ἐκ κατωδύνου κράζοντες καρδίας αὐτοῖς· πάσης ἡμᾶς ῥύσασθε ἐπηρείας καὶ βλάβης ὁρατῶν ἁπάντων τε, καὶ ἐχθρῶν ἀοράτων, τοὺς μετὰ πόθου σκέπῃ τῇ ὑμῶν, προσπεφευγόντας Ἀπόστολοι ἔνδοξοι. Δόξα, τὸ αὐτό. Καὶ νῦν, Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν κλπ.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Πέτρε ὁ πέτραν ἀραγῆ τῆς Πίστεως, φερωνυμίαν πλουτῶν· τὴν ἐμὴν καρδίαν, κλονουμένην πάντοτε, τοῦ βίου ἀντιπνεύσεσιν, ἑδρασθῆναι ἐν πέτρᾳ, ὑπομονῆς καθικέτευε, πέτραν Ἰησοῦν τὸν φιλάνθρωπον.

Παῦλον ἡ παῦλα καὶ τερπνὴ ἀνάπαυσις, τῆς Ἐκκλησίας Χριστοῦ, ἀνιέρῳ σάλῳ, κινουμένῳ ἵδρυσις, γενοῦ μοι καὶ ἀσφάλεια. ἱερὰ καὶ εἰς πάντων τῶν λογισμῶν τὴν κατάπαυσιν, θείαις σου πρεσβείαις εἰσάγαγε.

Ἀνδρέα θεῖε τοῦ Χριστοῦ Ἀπόστολε, ὁ δύναμις εὐπρεπής, ἑλληνίδι γλώσσῃ μεθερμηνευόμενος· ἐμὲ τὸν πολλοῖς πταίσμασιν ἀσθενῆ γεγονότα καὶ δυσειδῆ ἐνδυνάμωσον, καὶ θείαν εὐπρέπειαν ἔνδυσον.



Θεοτοκίον.

Ἄνθρακος θείου φλεγοφόρον ὄχημα, ἀναδειχθεῖσα Ἁγνή, ἐξ οὗ ὥσπερ ἄλλοι ἄνθρακες ἀνήφθησαν, οἱ ἱεροὶ Ἀπόστολοι· τῆς ψυχῆς μου τὴν ὕλην, ἐν τῷ περὶ τῷ αὐλῷ σου, φλέξον Μητροπάρθενε Δέσποινα.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Πτερνιστὴς ἀνεδείχθης, σὺ τῶν παθῶν ἔνδοξε, γόνε Ζεβεδαίου, βροντῆς τε θεῖε Ἰάκωβε, κλῆσιν κατάλληλον πεπλουτηκώς, δι' ὃ πάντα, τῆς σαρκὸς τὰ πάθη μὲ νικᾶν ἐνίσχυσον.

Θείαν χάριν σημαίνει, ἡ ἱερὰ κλῆσίς σου, μάκαρ Ἰωάννη Παρθένε, ἣν περὶ ἀπήλειφας, πλουσίαν ἄνωθεν, ὡς Θεολόγος Κυρίου, δι' ὃ θείας χάριτος δεῖξόν με σκήνωμα.

Στόμα ὄντως λαμπάδος, σὸν ἱερὸν ὄνομα, Φίλιππε τρισμάκαρ δηλοῖ μεθερμηνευόμενον· δι' ὃ νυμφῶνα Χριστοῦ, μετὰ φαιδρᾶς τῆς λαμπάδος, κατοικεῖν με πάντοτε πρέσβευε ἔνδοξε.

Θεοτοκίον.

Τὴν πηγὴν ἀπαθείας, σὺ μὲν Ἁγνὴ ἔτεκες, μῦσται δὲ ἐκήρυξαν κόσμῳ κόσμῳ, δι' ὃ τοῦ σώματος τῆς ἐμπαθείας με, ἡδυπαθείας ψυχῆς τε, νοὸς προσπαθείαις τε Κόρη ἀπάλλαξον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΗΤΟΡΗΣ ΠΑΠ...

Διάσωσιν, ὦ ἐκλεκτὴ δωδεκὰς Ἀποστόλων, ἀπὸ πάσης ἀνάγκης ἡμᾶς καὶ κακώσεως, τοὺς πόθῳ σε, εὐφημοῦντας καὶ πίστει.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε. Εἶτα μνημονεύει ὁ ἱερεύς, καὶ οὕτω λέγομεν τὸ παρόν.

Ἦχος β΄. Πρεσβεία θερμή.

Πρεσβείαν θερμήν, ποιήσατε πρὸς Κύριον, Χριστοῦ μαθηταί, καὶ ἔνδοξοι Ἀπόστολοι, ὅπως λάβωμεν ἄφεσιν, ὧν περ ἐν βίῳ ὧδε ἡμάρτομεν καὶ βασιλείας τῆς ἐν Οὐρανῷ, οἱ ὑμῶν δοῦλοι ἐκεῖ ἐπιτύχωμεν.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

Κλῆσις ἡ σή, μεθερμηνεύεται Δίδυμος· τῇ ἐγέρσει γὰρ Χριστοῦ ἐδίστασας. Θωμᾶ ψυχήν, δι᾿ ὃ τὴν ἐμήν, τῇ ἐγέρσει λόγου τοῦ ἐν ἐμοὶ ἀμφιβάλλουσαν, ταῖς μνήμαις τῶν κακῶν μου, ἀπαθῶς τυπουμέναις, ὡς ἐν τύπῳ τῶν ἥλων βεβαίωσον. Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε...

Ὄνομα σόν, υἱὸν κρεμάσαντα ὕδατα, ὑπεμφαίνει, τῆς γὰρ θείας χάριτος, ρεῖθρα σαφῶς ἔβλυσας βροτοῖς, ἄνωθεν κρεμάσας, Βαρθολομαῖε ἀπόστολε· δι᾿ ὃ μὲ τὸν διψῶντα, ὑπερῴων ὑδάτων, ἀτμοσφαίρᾳ σῆς χάριτος ἄρδευσον.

Παρὰ Θεοῦ, δεδωρημένον αἰνίττεται, σὲ Ματθαῖε, τὸ σεπτόν σου ὄνομα, πᾶσι βροτοῖς, δι᾿ ὃ τῷ Χριστῷ, ἐμὲ ἀντιστρόφως, ἐκ τῶν ἀνθρώπων προσάγαγε, δεδωρημένον ὅλον, ψυχήν, πνεῦμα



καὶ σῶμα· ἵνα πόθῳ γεραίρω τὴν μνήμην σου.

Θεοτοκίον.

Τοῦ οὐρανοῦ, τὸν Ποιητὴν ἡ γεννήσασα, τὸν ὡς ἄλλους, Οὐρανοὺς ἐκτείναντα, τοὺς μαθητάς, εἰς πᾶσαν τὴν γῆν· ποίησον τὸν νοῦν μου, παρεμφερῆ Μητροπάρθενε, χρώματι οὐρανίῳ, προσευχῆς δι᾿ ἄλλου, γυμνωθέντα προσύλων ἐμφάσεων.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώδω.

Τῆς μαθήσεως γένος, ἤτοι τῆς ζωῆς ἑρμηνευῇ Ἰάκωβε τοῦ Ἀλφαίου γόνος χρηματίσας δι᾿ ὃ ἱκετεύω σε, τῆς ζωῆς τὰς θείας καὶ ἱεράς με μαθητείας καὶ μαθεῖν καὶ παθεῖν καταξίωσον.

Ὑπακοὴν ὦ Σίμων, ζηλωτὰ Ἀπόστολε δηλοῖ σὸν ὄνομα. Καὶ γὰρ ἀδιστάκτως, τῷ Δεσπότῃ Χριστῷ καθυπήκουσας· τοῦ Κυρίου πάσαις, ταῖς ἐντολαῖς δι᾿ ὃ παμμάκαρ, ὑπακούειν κἀμὲ ἐνδυνάμωσον. Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε..·

Ἰούδα Ἰακώβου, ἡ ἐξομολόγησις ἑρμηνευόμενος· ἐξομολογεῖσθαι τῷ Κυρίῳ εὐχαῖς σου ἐνίσχυσον, καὶ μετανοεῖν με, ἀπὸ ψυχῆς τε καὶ καρδίας, στεναγμοῖς προσευχαῖς τε καὶ δάκρυσιν.

Θεοτοκίον.

Τετραπλῆς ἀπαθείας, σώματι ψυχῇ τε καὶ ἐπιθυμίᾳ τε, ἐνθεωρουμένης, ὡς οἱ θεῖοι Πατέρες διδάσκουσι, καὶ τῇ διανοίᾳ, ἐμὲ ἀξίωσον Παρθένε, δραστικαῖς Ἀποστόλων ἐντεύξεσιν.

Ὠδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἐφώτισας, τῷ φωτὶ τῆς πίστεως, Ἀντιόχειαν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤΩΝ. ΝΤΟΡΗΣ ΠΡΟΣΦΟΡΑ

καὶ Ρώμην ὦ Πέτρε· καὶ ἐν σταυρῷ, ἀντιστρόφως ἐπάγης, ἀλλὰ κἀμοῦ τὸ ζοφῶδες ἐκλάμπρυνον, καὶ σάρκα μετὰ τῶν παθῶν, διὰ πόνων σταυρῶσαι ἀξίωσον.

Πεπλήρωκας, Εὐαγγέλιον, θεῖον, ἀπὸ Ἱερουσαλὴμ τε καὶ μέχρι Ἰλλυρικοῦ· ἐν δὲ Ρώμῃ ὦ Παῦλε, τὴν κεφαλὴν ἀπετμήθης· ἀλλ᾽ ἔκτεμε, ψυχῇ μου οἴησιν δεινήν, τοῦ Σατὰν κεφαλὴν τὴν ἀκέφαλον. Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε...

Διέδραμες, ὦ Ἀνδρέα ἔνδοξε, Βυζαντίδαν καὶ τὴν Ἤπειρον πᾶσαν, ἕως Σκυθῶν, καὶ Ἑλλάδος κηρύττων καὶ ἐν αὐτῇ σταυρωθεὶς τετελείωσαι· δι᾽ ὃ κἀμὲ τῶν σῶν παθῶν, καὶ τῆς δόξης σου μέτοχον ποίησον.

Θεοτοκίον.

Ὑπέραγνε, ὑπὲρ νοῦν ἡ τέξασα, καὶ ἀγνῶς τὸν τῆς ἀγνείας σπορέα τοῦ πονηροῦ, τῆς λαγνείας σπορέως, τοὺς λογισμοὺς τοῦ νοός μου ἐκρίζωσον, ἐμφύτευσον δὲ τοὺς ἁγνούς, ἱεραῖς Ἀποστόλων δεήσεσιν.

Διάσωσον ὦ ἐκλεκτὴ δωδεκὰς Ἀποστόλων, ἀπὸ πάσης ἀνάγκης ἡμᾶς κακώσεως, τοὺς πόθῳ σὲ εὐφημοῦντας καὶ πίστει.

Εἶτα μνημονεύει ὁ ἱερεύς, καὶ εὐθὺ: λέγομεν.
Τὸ Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.

Φῶς τοῦ Κόσμου καὶ ἅλας ἡδὺ ὡς ὑπάρχοντες, γεωργοὶ καὶ ποιμένες Κυρίου Ἀπόστολοι, ἐνερ-



γείας τούτων πάντων δωρήσασθε ἡμῖν, ἐκλαμπρύνοντες τὸν νοῦν, καὶ σηπεδόνας τῶν παθῶν, ἡμῶν ἀποξηραίνοντες· πρόρριζον ἀνασπῶντες, ἄκανθαν ἁμαρτίας καὶ ταῖς νομαῖς τῶν ἀρετῶν, ἡμᾶς ἀεὶ διατρέφοντες.

Προκείμενον. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης.
Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, ἰδὼν ὁ Ἰησοῦς τοὺς ὄχλους, εὐσπλαγχνίσθη περὶ αὐτῶν ὅτι ἦσαν ἐκλελυμένοι καὶ ἐῤῥιμμένοι, ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα. Καὶ προσκαλεσόμενος τοὺς δώδεκα Μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τῶν δὲ δώδεκα Ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος, Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ· Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ· Φίλιππος, καὶ Βαρθολομαῖος· Θωμᾶς, καὶ Ματθαῖος ὁ τελώνης· Ἰάκωβος ὁ τοῦ Ἀλφαίου καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος· Σίμων ὁ Κανανίτης, καὶ Ἰούδας ὁ Ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν. Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλ-

θητε. Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες. Ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Δόξα. Ταῖς τῶν Ἀποστόλων πρεσβείας. Καὶ νῦν. Θεοτοκίον. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός. Καὶ τὸ τροπάριον.

Ἦχος πλ. β΄. Μὴ καταπιστεύσῃς με.

Δώδεκα Ἀπόστολοι, ὅταν ἐν δώδεκα θρόνοις, καθίσητε κρίνοντες, τὰς φυλὰς τὰς δώδεκα, τότε δείξατε, οἰκιστὰς πόλεως τῆς ἐπουρανίου, ἡμᾶς πάντας παναοίδιμοι, τῆς θεμελίους τε, δώδεκα ἐχούσης ἐκ δώδεκα, λίθων καὶ πύλας δώδεκα, ἐκ μαργαριτῶν δυωκαίδεκα· καὶ δωδεκαρίθμου, καρποῦ μεταλαβεῖν τοῦ τῆς ζωῆς ξύλου ἡμᾶς ἀξιώσατε, ταῖς ὑμῶν δεήσεσιν.

Ὠδὴ Ζ΄. Παῖδες Ἑβραίων.

Πᾶσαν διδάσκων Ἰουδαίαν, ὦ Ἰάκωβε Ζεβεδαίου μαχαίρᾳ, πίνεις τὸ τοῦ Χριστοῦ, ποτήριον δι᾽ ὃ με, τῶν πειρασμῶν ἐνίσχυσον, τὸ ποτήριον λαμβάνειν. Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε..

Σπέρματα σπείρεις εὐσεβείας, ἐν τῇ Πάτμῳ τε καὶ Ἀσίᾳ κηρύττων· καὶ κοίμησιν φρικτήν, ὑπέστης Ἰωάννη· δι᾽ ὃ μου κατακοίμησον, τῆς σαρκὸς ἄγρια πάθη.



Ἕλκεις εἰς πίστιν τῆς Τριάδος, τὰ ἀνώτερα μέρη τὰ τῆς Ἀσίας, καὶ τέλει τῷ σταυρικῷ Φίλιππε ἐκοιμήθης· δι᾽ ὃ κἀμὲ ἀξίωσον τοῖς ἐν κόσμῳ σταυρωθῆναι.

Θεοτοκίον

Φῶς ἡ τεκοῦσα Θεοτόκε, τὸ ἀπρόσιτον, ὅπερ εἰς πάντα κόσμον, οἱ θεῖοι Μαθηταί, ἐκήρυξαν προθύμως τὸν νοῦν μου φωταγώγησον, ἁμαρτίαις σκοτισθέντα.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.

Ἐκκαθαίρεις βαπτίσματι τῷ θείῳ, Πάρθους Μήδους, Ἰνδούς τε καὶ τοὺς Σύρας· καὶ λογχευθεὶς Θωμᾶ τὸ στέφος εἴληφας· ἀλλὰ δέομαί σου, καὶ τὴν ῥυπωθεῖσαν καθάρισον ψυχήν μου.

Τοῦ Κυρίου, ναοὺς σεπτοὺς δεικνύεις, Ἀρμενίους θεῖε Βαρθολομαῖε καὶ σταυρωθεὶς τὸν δρόμον ἐκτετέλεκας· ὅθεν κἀμὲ δεῖξον Πνεύματος τοῦ θείου Ναὸν ἡγιασμένον. Δόξα.

Αἰθιόπων, τὰ πρόσωπα λευκαίνεις, ταῖς ἀκτῖσι, τῆς πίστεως Ματθαῖε· καὶ ἐκδημεῖς διὰ πυρὸς πρὸς Κύριον, ἀλλὰ δέομαί σου, κἀμὲ πυρὶ φλέξον τῆς τοῦ Χριστοῦ ἀγάπης.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκενώθη, ὁ πλήρης ἐν γαστρί σου, ἀκενώτως, καὶ κένωσιν τὴν τούτου, οἱ Μαθηταὶ τοῖς πέρασιν ἐκήρυξαν· ὅθεν κενὸν ὄντα, χάριτος τῆς τούτων, πλήρη με δεῖξον Κόρη.

'Ωδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ

Ἱεροσολυμίτας καὶ Καισαρεῖς, τοῦ Ἀλφαίου Ἰάκωβε ἔνδοξε, υἱοὺς Θεοῦ διὰ τοῦ βαπτίσματος ἐκτελεῖς καὶ σταυρωθεὶς ἀνέδραμες, ἵνα βασιλεύῃς σὺν τῷ Χριστῷ· δι' ὃ κἀμὲ δυσώπει, τὸν ἀποκηρυχθέντα, Υἱὸν Θεοῦ πάλιν ὀφθήσεσθαι.

Ὡς ἅλας τὴν σοφίαν σου ἐμβαλών, Ἀφρικῇ καὶ Περσίᾳ ἐξήρανας, πλάνην αὐτῶν, Σίμων Κανανῖτα καὶ ζηλωτά· καὶ σταυρωθεὶς ἐσκήνωσας, ἔνθα τῶν Ἀγγέλων αἱ στρατιαί· δι' ὃ ἐκδυσωπῶ σε, καὶ τῆς ψυχῆς μου πάσας τὰς σηπεδόνας ἀποξήρανον.

Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε..

Δροσίζεις Ἀραβίας αὐχμῶσαν γῆν, Ἰακώβου Ἰούδα Ἀπόστολε, ζωοποιῷ, θείας ἐπιγνώσεως δροσισμῷ, καὶ τοξευθεὶς ἀνέλυσας, εἶναι σὺν Χριστῷ τῷ παμβασιλεῖ· δι' ὃ κἀμὲ ρανίσον, τῶν θείων πρεσβειῶν σου, αὐχμῷ τακέντα καταδρόσισον.

Χορὲ δωδεκασύνθεται μαθητῶν, δωδεκάφωτε κύκλε οὐράνιε, ζωδιακέ· λύρα δωδεκάχορδε λιγυρά· πηγὴ ἡ δωδεκάκρουνος· ἄμπελε κυπρίζουσα εὐθαλής, δωδεκακληματοῦσα· τὸν ὕμνον τοῦτον δέχου, καὶ σωτηρίας με ἀξίωσον.

Θεοτοκίον

Πηγὴ πασῶν χαρίτων ὁ σὸς Υἱός· σὺ δὲ Μήτηρ Θεοῦ τούτων θάλασσα· οἱ δὲ κλεινοί, μύσται καὶ Ἀπόστολοι ἀληθῶς, ρύακες τούτων πέλουσι,



καὶ ὥσπερ ἀέναοι ποταμοί, δι' ὃ ὅπου πηγή τε, ἐκεῖ σκηνῶσαί με ἀξίωσον.

Τὰ παρόντα Μεγαλυνάρια.

Πέτρον, Παῦλον μέλψωμεν καὶ Θωμᾶν, Φίλιππον, Ἀνδρέαν, Ἰωάννην, καὶ τὸν κλεινὸν Σίμωνα, Ματθαῖον, Ἰούδαν, Ἰακώβου, Βαρθολομαῖον, ἅμα καὶ τὸν Ἰάκωβον.

Τὰς εὐήχους σάλπιγγας τοῦ Χριστοῦ, θείους Ἀποστόλους, εὐφημήσωμεν οἱ πιστοί, τοὺς διαπρυσίως κηρύξαντας ἐν κόσμῳ, τὴν σάρκωσιν τοῦ Λόγου, καὶ τὴν Ἀνάστασιν.

Πέτρον, Παῦλον, Μάρκον σὺν τῷ Λουκᾷ, Φίλιππον, Ματθαῖον, Ἰωάννην, Σίμωνα καὶ Θωμᾶν, τὸν κλεινὸν Ἀνδρέαν σὺν θείῳ Ἰακώβῳ, καὶ τὸν Βαρθολομαῖον πάντες ὑμνήσωμεν.

Ἕτερα.

Πέτρε, Ἀποστόλων ἡ Κορυφή, Παῦλε Θεοκήρυξ· Ἰωάννη γόνε βροντῆς, Ἰάκωβε, Μάρκε, σὺν τῇ λοιπῇ ὀκτάδι, ἀπαύστως δυσωπεῖτε, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὰς εὐήχους σάλπιγγας τοῦ Θεοῦ, νῦν τοὺς Ἀποστόλους, εὐφημήσωμεν οἱ πιστοί, τοὺς τὴν οἰκουμένην διδάξαντας πιστεύειν, τὴν σάρκωσιν τοῦ Λόγου καὶ τὴν Ἀνάστασιν.

Χαίροις αὐταδέλφων ἡ ξυνωρίς, Πέτρε καὶ Ἀνδρέα, Ἀποστόλων ἡ καλλονή, μεθ' ὧν δυσω·

πεῖτε τὸν Κρίστιν ὑπὲρ πάντων τῶν γεραιρόντων, τὴν θείαν μνήμην ὑμῶν.

Πᾶσαι τῶν Ἀγγέλλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆνε ἡμᾶς.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί . . .

Τὸ Τρισάγιον, κ. τ. λ.

Ἐν δὲ τῇ προσκυνήσει τῆς Ἁγίας Εἰκόνος τῶν Ἀποστόλων ψάλλεται τὸ παρόν:

Ἦχος β'. Πρὸς τό, Πάντων προστατεύεις ἀγαθή.

Πάντας τοὺς τὴν θείαν καὶ σεπτήν, κατασπαζομένους εἰκόνα ὑμῶν Ἀπόστολοι, πάσης ἐκλυτρώσασθε ὀργῆς καὶ θλίψεως, ἀλλοφύλων ἐφόδου τε, σεισμοῦ ἐμπρησμοῦ τε, λιμοῦ λοιμοῦ φόνου τε, καὶ παντὸς ἄλλου κακοῦ· ὅπως ἐν γαλήνῃ βιοῦντες, καὶ εἰρηνικῇ καταστάσει, χάριν ἀεὶ γεραίρωμεν.

Ἕτερον. Ὅμοιον.

Ποίμνην τὴν γεραίρουσαν ἡμᾶς, καὶ ἀεὶ τιμῶσαν ἐκ πόθου, θεῖοι Ἀπόστολοι, Πέτρε, Παῦλε, Φίλιππε, Θωμᾶ, Ἀνδρέα τε Ἰωάννη, Ἰάκωβε, καὶ Βαρθολομαῖε, Ματθαῖε, Ἰάκωβε ὁ τοῦ Ἀλφαίου υἱός, Σίμων, Ἰακώβου, Ἰούδα, σὺν τοῖς ἑβδομήκοντα πάσης θλίψεως καὶ βλάβης διασώσατε.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύ-



λατε εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν. Καὶ ἀπόλυσις.

## ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ

**Ποίημα Νικοδήμου Ἁγιορείτου.**

***Εἰς τοὺς κορυφαίους τῶν Ἀποστόλων Πέτρον καὶ Παῦλον.***

Ἄναρχος ὢν τῷ χρόνῳ, ἀρχὴν εἴληφε χρόνου, ὁ χρόνων Ποιητὴς Θεὸς Λόγος· καὶ πεμφθεὶς ἡμῖν πρὸς τοῦ Πατρὸς Ἀπόστολος ἄκρος, σὲ Πέτρε δείκνυσι πρωτόθρονον Ἀπόστολον· δι' ὃ προσαγορεύομέν σε.

Χαῖρε χοροῦ, μαθητῶν ἀκρότης. Χαῖρε Χριστοῦ, ἀπορρήτων μύστης. Χαῖρε Θεολόγων, ἁπάντων ὑπέρτατε. Χαῖρε οἰκονόμων, τοῦ Πνεύματος πρώτιστε. Χαῖρε ὅτι ἀπεκάλυψεν, ὁ Πατήρ σοι τὸν Χριστόν. Χαῖρε ὅτι ἀνεκήρυξας, τοῦτον ἀληθῆ Θεόν. Χαῖρε βασιμωτάτη κρηπὶς ὁμολογίας. Χαῖρε ἀρχή, στοιχειώδης πίστεως. Χαῖρε φωστήρ, οὐρανίου γνώσεως, Χαῖρε δι' οὗ, Χριστὸς ἐδοξάσθη. Χαῖρε δι' οὗ, ὁ Σατᾶν κατῃσχύνθη.

Χαῖρε Πέτρε Ἀπόστολε.

Βλέμμα τὸ νοερόν σου, ἐκκαθάρας, εἰσέδυς, εἰς κόλπους τοὺς πατρώους· ὢ θαῦμα! καὶ εἶδες ἐν αὐτοῖς τὸν Χριστόν, ἀνομμάτως Πέτρε Θεὸν συνάναρχον, Πατρί τε καὶ τῷ Πνεύματι, κηρύττων τοῦτον καὶ κραυγάζων. Ἀλληλούϊα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Γνώσεως ἀπροσίτοις, ἐλλαμφθεὶς φρυκτωρίαις, φωτὸς ἐν Οὐρανῷ σοι ἔνθεον· καὶ σκεῦος ἐχρημάτισας τῆς ἐκλογῆς· δι' ὃ ἀκούεις.

Χαῖρε φωτός, ἀπλέτου διόπτρα. Χαῖρε χριστοῦ, μυστηρίων μύστα. Χαῖρε Ἐκκλησίας ὁ ρήτωρ, ὁ ρήτωρ ὁ εὔλαλος. Χαῖρε οἰκουμένης, ὁ κήρυξ ὁ πάνσοφος. Χαῖρε, ῷ Κόσμος ἐσταύρωται, ὅτι ἐν σοὶ ζῇ Χριστός. Χαῖρε Ἐθνῶν ὁ μέγας Διδάσκαλος. Χαῖρε πιστῶν, πατὴρ διὰ Πνεύματος. Χαῖρε, δι' οὗ, ὁ κόσμος ἐφωτίσθη. Χαῖρε, δι' οὗ, τὸ σκότος ἀπηλάθη.

Χαῖρε Παῦλε Ἀπόστολε.

Διαβὰς τὴν τῶν ὄντων, φύσιν πᾶσαν ὦ Παῦλε, Χριστῷ σῷ ἐραστῇ ἐκολλήθης, καὶ ὤφθης μετ' αὐτοῦ Πνεῦμα, ἕν, Χριστῷ ζῶν μόνῳ, Χριστοῦ ἐρῶν, Χριστὸν ἡγούμενος, πνοὴν καὶ φῶς καὶ ἔρωτα, καὶ ψάλλων τούτῳ. Ἀλληλούϊα.

Εἰσελθὼν θεωρίας, τὸν ὑπέρφωτον γνόφον, ἐνέβαψας τὰ χείλη σου Πέτρε· καὶ θεώσεως πρῶτος πλησθείς, τοῦ ἐνθέου δώρου ἡμῖν μετέδωκας, σοῖς θεογράφοις ρήμασι· δι' ὃ σοι προσφωνοῦμεν ταῦτα.

Χαῖρε Θεέ, Θεῷ ἡνωμένε. Χαῖρε φωτός, ἀνεσπέρου γόνε. Χαῖρε ἁλιεῦ, τῶν ἁλιέων ὄρχαμε. Χαῖρε Οὐρανέ, τῶν Οὐρανῶν ἀνώτερε. Χαῖρε ὅτι θείας φύσεως, ἀνεδείχθης κοινωνός. Χαῖρε ὅτι Θεοὺς ἔδειξας, τῶν ἀνθρώπων τοὺς Υἱούς. Χαῖρε



τῆς Ἐκκλησίας, σύμβουλε ἀναγκαῖε. Χαῖρε τῆς Χριστοῦ ποιμνῆς προστάτα γηραλέε· χαῖρε νοῶν τερπνότατον ἥδυσμα· χαῖρε βροτῶν τὸ θεῖον ἐντρύφημα· χαῖρε δι' οὗ, ἡ πίστις ἐφηπλώθη· χαῖρε δι' οὗ ἡ πλάνη κατηργήθη.

Χαῖρε Πέτρε Ἀπόστολε.

Ζωῆς ρήματα ἔχεις, αἰωνίου ὁ Πέτρος, τῇ Πέτρᾳ τῆς ζωῆς ἀνεβόα· καὶ ἡμεῖς πρὸς τίνα ἐκτὸς σοῦ, ἀπελευσόμεθα καὶ ζησόμεθα, τὸ φίλτρον ἐνδεικνύμενος τὸ περὶ τὸν Δεσπότην, κράζων.

Ἀλληλούϊα

Ἡρπάγης εἰς τὰ ὕψη, αἰωνίων ὀρέων, καὶ ἔξω πάντων γέγονας Παῦλε, αἰσθητῶν ὁμοῦ καὶ νοητῶν, οὐκ ἐν διανοίᾳ ἀλλ' ἐν τῷ Πνεύματι· σὺν ὕλῃ ἢ ὡς ἄϋλος, ὁ Θεὸς οἶδε· δι' ὃ κράζω· χαῖρε Χριστοῦ, ὁ μανικὸς ἔρως· χαῖρε Θεοῦ, ὁ γνήσιος φίλος· χαῖρε ἁρπαγῆς, ὁ γνωρίσας μυστήριον· χαῖρε σιωπῆς, νοερᾶς ἐργαστήριον· χαῖρε ὅτι πάντα σκύβαλα, ἥγησαι διὰ Χριστόν· χαῖρε ὅτι πάντα γέγονας, ἵνα σώσῃς τοὺς πολλούς· χαῖρε Θεοῦ σοφίας πολυχώρητον σκεῦος· χαιρε κύκλον ἐν κύκλῳ, δείξας χάριν ἐν Νόμῳ· χαῖρε πυκνόν, Χριστοῦ ἀδολέσχημα· χαῖρε γλυκύ, Ἰησοῦ μελέτημα· χαῖρε οἷς μέν, ὀσμὴ ζωηφόρος· χαῖρε οἷς δε, ὀσμὴ τοῦ θανάτου.

Χαῖρε Παῦλε Ἀπόστολε.

Θεουργεῖ καθ' ἑκάστην τοὺς ἀνθρώπους, ὦ Παῦλε, σεπτῶν ἐπιστολῶν σου τὰ φῶτα· δι' ὧν οἱ γνωστικοί, ἀληθῶς, μεταμορφούμενοι πρὸς ξένην θέωσιν, τὴν δόξαν ὥς τις ἔφη, κατοπτρίζονται Θεοῦ, βοῶντες. Ἀλληλούϊα.

Ἴδιον οὐκ ἐκτήσω, ἐπὶ γῆς Σίμων Πέτρε, χρυσὸν οὐκ ἄργυρον εἰς τὴν ζώνην. Ἰησοῦ δὲ ὄνομα φρικτόν, ἔχων διεδίδως προῖκα μακάριε, καὶ δι' αὐτοῦ τὰ θαύματα, ἐνήργεις τοῖς βοῶσι τάδε.

Χαῖρε ψυχῆς, ξένη ἀμβροσία· χαῖρε σαρκός, νεκταρῶδες πόμα· χαῖρε ἀβλεπτούντων τὸ θεῖον κολλούριον· χαῖρε ἀσθενούντων, ξενήκουστον φάρμακον· χαῖρε ὅτι ζῶσαν ἤγειρας, τὴν θανοῦσαν Ταβιθᾶν· χαῖρε ὅτι νεκρὰν ἔδειξας, τὴν Σάπφειραν ἐξ αὐτῆς· χαῖρε ὁ Ἀνανίας, νεκρὸν ἄφνω ποιήσας· χαῖρε ὁ λόγῳ μόνῳ, τὸν παράλυτον σφίγξας· χαῖρε πηγή, ὑγείαν προχέουσα· χαῖρε κρουνέ, βλυστάνων ἰάματα· χαῖρε σκιᾷ, ὁ νόσους ἀπελάσας· χαῖρε εὐχῇ, ὁ Σίμωνα νεκρώσας.

Χαῖρε Πέτρε Ἀπόστολε.

Κατεθέλχθης τῷ κάλλει, τῆς Θεότητος Πέτρε, Χριστοῦ τῆς ἀστραφάσης ἐν ὄρει, δι' ὃ ἐστολισμένη ἐρῶν, νυμφικῶς ἀπείρου φωτὸς ἐλλάμψεσι, καλόν ἐστιν ὧδε μένειν. ἐκστατικῶς ἐβόας, ψάλλων. Ἀλληλούϊα.

Λόγους τοὺς ἀποκρύφους, τῶν ὑψίστων δογμάτων, Χριστοῦ οἰκονομίας ὦ Παῦλε, ἐκ τῶν ἀδύτων προσενεγκών, ἑρμηνεύεις τούτους, ὑπερφυέστατα τοὺς πιστοὺς διεγείρων σὺν θαύμασιν ἀναβοᾶν σοι.



Χαῖρε κλεινὸν θαῦμα Ἀποστόλων· χαῖρε καινῆς, γραφῆς καλλιστεῖον· χαῖρε θεοπνεύστων λογίων ἡ ἄβυσσος· χαῖρε θεοσόφων νοημάτων πέλαγος· χαῖρε θείας ἐνσαρκώσεως, ὑψηγόρε ἑρμηνεῦ· χαῖρε βίβλε θεοχάρακτε, δυναντιβλεπτε νοΐ· χαῖρε θεῖε ταμία θησαυρῶν οὐρανῶν· χαῖρε ἡ ἁγία, ὕλη τῶν Διδασκάλων· χαῖρε λαβών, τὰ Ἔθνη εἰς σχοίνισμα· χαῖρε πυκνά, τελέσας τεράστια· χαῖρε Χριστοῦ, ὄνομα ὁ βαστάσας· χαῖρε σκηνῆς, ἀρχιτέκτων τῆς νέας.

Χαῖρε Παῦλε Ἀπόστολε.

Μέγα θαῦμα ὠράθη, ἐν τῷ τέλει τῆς θείας, ζωῆς σου ὦ μακάριε Παῦλε τμηθεῖσα γάρ σου ἡ κεφαλη. τρισάκις εἰς ὕψος ἀπὸ γῆς ἥλατο, τοῖς ἅλμασιν ὡς ᾄσμασιν, αἰνοῦσα τὴν Τριάδα οὕτως. Ἀλληλούϊα.

Νέον λαὸν εἰργάσω, διὰ Πνεύματος θείου, λαὸν τὸν παλαιὸν Ἰουδαίων, θεογενεσίας τῷ λουτρῷ, ἐγκαινίσας τούτους Πέτρε ἀοίδιμε. καὶ οἴκους ἐνδειξάμενος τῆς χάριτος, οὕτω βοῶντας.

Χαῖρε σκιᾶς Νόμου καθαιρέτα· χαῖρε στερρὰ στήλη ἀληθείας· χαῖρε Ἰσραήλ. ὁ ἐκστήσας τοῦ γράμματος· χαῖρε ὁ Χριστῷ, τοῦτον δήσας ἐν